τοῦ οἰκείου ἔργου φροντιζέτω καὶ μὴ ἁρπαζέτω τὰ ἄλλου, ἐπεὶ σύγχυσιν ἀνάγκη γίνεσθαι.

p. 455b. ἐγὼ γάρ τοι οὐδὲ αὐτός πω δύναμαι.

ποιεῖ ἑαυτὸν συμφυρόμενον ὁ Σωκράτης, ἵνα προσκα- 12
λέσηται εἰς διαλεκτικὴν συνουσίαν τὸν Γοργίαν.

p. 455c. καὶ ἐμὲ νῦν νόμισον.

ἐν τοῖς προλαβοῦσιν εἴρηται, ὅτι τοῖς πάθεσιν ἔστιν ὅτε 13
κεχρήμεθα ἐν καιρῷ πρὸς τὸ συμφέρον· οὕτω γοῦν ἀνωτέρω τὸ βραχυλογῆσαι ᾔτησεν αὐτὸν ὁ Σωκράτης, καὶ νῦν οὖν τῷ φιλοτίμῳ αὐτοῦ ἐν συμφέροντι κέχρηται· φησὶ γοῦν, ὅτι εἰσὶν ἐνταῦθα οἱ βουλόμενοί σου ἀκροάσασθαι, ἐγὼ οὖν τῶν μαθητῶν ἡγεμῶν γίνομαι καὶ ὑπὲρ αὐτῶν ἐρωτῶ σε· εἰκὸς γὰρ αὐτοὶ αἰσχύνονται ἐρωτῆσαί σε· ὑπ' ἐμοῦ οὖν ἐρωτώμενος νόμισον καὶ ὑπ' ἐκείνων ἐρωτᾶσθαι καὶ τοιαῦτα τινά.

p. 455d. τί ἡμῖν γενήσεται, ὦ Γοργία, ἐάν σοι συνῶμεν.

ἆρα περὶ τίνων ἔχομεν δυνατοὶ γενέσθαι τῇ πόλει συμ- 14
βουλεῦσαι· ἆρα περὶ δικαίου μόνου καὶ ἀδίκου ἢ καὶ περὶ ὧν ὁ Σωκράτης ἔλεγεν· πειρῶ οὖν, ὦ Γοργία, ἀποκρίνεσθαι ἐμοί τε καὶ αὐτοῖς· ὅρα τοίνυν ἦθος Σωκρατικόν, ὅτι καὶ μαθητὴν ἑαυτὸν ἀποκαλεῖ τὴν ὠφέλειαν ἀσπαζόμενος.

## VII.

### Πρᾶξις σὺν θεῷ ζ'.

p. 455d. ἀλλ' ἐγώ σοι πειράσομαι, ὦ Σώκρατες.

ἐπαρθεὶς ὁ Γοργίας ὑπὸ τῶν Σωκρατικῶν λόγων ἀποκα- 1
λύπτειν ὑπισχνεῖτο τῷ Σωκράτει πάντα τὰ μυστήρια τῆς ῥητορικῆς. λέγει οὖν, ὅτι τὴν δύναμιν τῆς ῥητορικῆς σαφῶς ἀποκαλύπτω σοι, καὶ ἰδοὺ δύναμιν αὐτὴν ἐκάλεσεν· ἡ δὲ

7 p. 449c  VII 1 cf. Olympiod. in Phaed. **A III 15**. Plat. Tim. 47a

3 ἐγὼ **M** ἐγὼ μὲν Plat.  15 γενήσεται ὦ Γοργία] **M** ὦ Γοργία ἔσται Plat.